eul_wid: wus-af

*Σοῦδα* · Suda

# Lexicon, Letter Z

*Σοῦδα, Στοιχεῖον Ζ*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

ζ 1 Ζαβαρεῖον: ἐν ᾧ αἱ ζάβαι, αἵ εἰσιν ὅπλα πολεμικά, ἀπόκεινται. ζάβα γὰρ τὸ λωρίκιον.

ζ 2 Ζαβουλών: χώρα. λέγεται δὲ καὶ ὁ πάνυ βουλόμενος.

ζ 3 Ζαβρόν: πολυφάγον.

ζ 4 Ζαγρεύς: ὁ Διόνυσος παρὰ ποιηταῖς. δοκεῖ γὰρ ὁ Ζεὺς μιχθῆναι τῇ Περσεφόνῃ, ἐξ ἧς χθόνιος Διόνυσος.

ζ 5 Ζαές: μέγα, πολύ, λαμπρόν, ἢ ἰσχυρόν.

ζ 6 Ζαῆν ἄνεμον: τὸν σφοδρῶς πνέοντα.

ζ 7 Ζαθέη: ἄγαν θεία. καὶ Ζαθέων.

ζ 8 Ζαθέρει: ἄγαν θερμῷ. ἐν Ἐπιγράμμασι· οἶδα καθίζων ἀείδειν ζαθέρει καύματι θαλπόμενος.

ζ 9 Ζάκορος: νεωκόρος. Μένανδρος Δὶς ἐξαπατῶντι· οὐ Μεγάβυζος ἦν, ὅς τις γένοιτο ζάκορος. καὶ ὁ ὑπηρέτης. Λευκαδίᾳ· ἐπίθες τὸ πῦρ ἡ ζάκορος ἱερέως οὑτωσὶ καλῶς. ἢ ὁ ἱερεύς, ὁ τὸν ναὸν σαρῶν. κορεῖν γὰρ τὸ σαίρειν παρὰ Ἀττικοῖς.

ζ 10 Ζάκοτον: ἄγαν ὀργίλον· κότος γὰρ ἡ ὀργή.

ζ 11 Ζακχαῖος: ὄνομα κύριον.

ζ 12 Ζάλευκος, Λοκρὸς ἐκ Θουρίου, Πυθαγόρειος φιλόσοφος καὶ νομοθέτης, ὃς τελευτᾷ ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος. ἦν δὲ οὗτος πρότερον δοῦλός τε καὶ ποιμήν· καὶ ἐκπαιδευθεὶς νόμους ἔθετο τοῖς ἑαυτοῦ πολίταις· ἐν οἷς καὶ τό, προϊούσας ἐπ’ ἀγορᾶς τὰς γυναῖκας, τὴν μὲν ἐλευθέραν λευχείμονα μετὰ οἰκείων παιδίσκην μίαν ἔχουσαν, τὰς δὲ ἄλλας ἐν ἀνθινοῖς.

ζ 13 Ζάλην: μεγάλην ἅλα. ἀπὸ τοῦ σφόδρα ἁλίζεσθαι. καὶ Ζάπλουτος, ὁ σφόδρα πλούσιος. Πλάτων Πολιτείᾳ· οἷον ἐν χειμῶνι ὑπὸ κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τείχει ὑποστάς. καὶ ἐν Τιμαίῳ· εἴτε ζάλη πνεύματος ὑπ’ ἀέρος φερομένη καταληφθείη. συστροφὴν γὰρ καὶ συρμὸν βούλεται δηλοῦν. τινὲς ἄνεμος λάβρος, πνεῦμα θορυβῶδες. Κλήμης. δύναται καὶ ζάλη τὶς εἶναι μεγάλη συστροφὴ ἀνέμου. τινὲς Ζάλην τὴν χάλαζαν.

ζ 14 Ζαμβρῆς, Ζαμβρῆ: ὄνομα κύριον.

ζ 15 Ζαμβύκη: μουσικὸν ὄργανον.

ζ 16 Ζαμενής· Σοφοκλῆς· ἢ ζαμενὴς λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ. οἷον ὀργίλος καὶ λοίδορος, καὶ βίαιος.

ζ 17

Ζάμολξις: Πυθαγόρᾳ δουλεύσας, ὡς Ἡρόδοτος δʹ. Σκύθης· ὃς ἐπανελθὼν ἐδίδασκε περὶ τοῦ ἀθάνατον εἶναι τὴν ψυχήν. Μνασέας δὲ παρὰ Γέταις τὸν Κρόνον τιμᾶσθαι καὶ καλεῖσθαι Ζάμολξιν. Ἑλλάνικος δὲ ἐν τοῖς Βαρβαρικοῖς νόμοις φησίν, ὅτι Ἑλληνικός τε γεγονὼς τελετὰς κατέδειξε Γέταις τοῖς ἐν Θρᾴκῃ καὶ ἔλεγεν, ὅτι οὔτ’ ἂν αὐτὸς ἀποθάνοι οὔθ’ οἱ μετὰ τούτου, ἀλλ’ ἕξουσι πάντα ἀγαθά. ἅμα δὲ ταῦτα λέγων ᾠκοδόμει οἴκημα κατάγαιον. ἔπειτα ἀφανισθεὶς αἰφνίδιον ἐκ Θρᾳκῶν ἐν τούτῳ διῃτᾶτο. οἱ δὲ Γέται ἐπόθουν αὐτόν. τετάρτῳ δὲ ἔτει πάλιν φαίνεται, καὶ οἱ Θρᾷκες αὐτῷ πάντα ἐπίστευσαν. λέγουσι δέ τινες, ὡς ὁ Ζάμολξις ἐδούλευσε Πυθαγόρᾳ Μνησάρχου Σαμίῳ καὶ ἐλευθερωθεὶς ταῦτα ἐσοφίζετο. ἀλλὰ πολὺ πρότερος δοκεῖ ὁ Ζάμολξις Πυθαγόρου γενέσθαι. ἀθανατίζουσι δὲ καὶ Τέριζοι καὶ Κρόβυζοι καὶ τοὺς ἀποθανοῦντας ὡς Ζάμολξίν φασιν οἴχεσθαι, ἥξειν δὲ αὖθις· καὶ ταῦτα ἀεὶ νομίζουσιν ἀληθεύειν. θύουσι δὲ καὶ εὐωχοῦνται, ὡς αὖθις ἥξοντος τοῦ ἀποθανόντος.

ζ 18 Ζάμολξις: θηλυκῶς. ὄνομα θεᾶς.

ζ 19 Ζανὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι· ἐν Ἐπιγράμμασι. ἀντὶ τοῦ βιασθείς, κινηθείς.

ζ 20 Ζαπληθές: ἄπειρον, ἄμετρον. Στησίχορον ζαπληθὲς ἀμέτρητον στόμα Μούσης ἐκτέρισε Κατάνας αἰθαλόεν δάπεδον.

ζ 21 Ζατρεφής: ὁ εὐτραφής. καὶ τὸ πληθυντικὸν ζατρεφέων.

ζ 22 Ζαφελής: ὁ ἀφελής. καὶ Ζαφελῶς, πάνυ ἀφελῶς.

ζ 23 Ζαχαρίας: ὄνομα κύριον.

ζ 24 Ζαχρειής: ὁ ἄγαν χρειώδης. Ζαχρηείς δέ, ζαχρηέντος.

ζ 25 Ζεβεέ: ὄνομα κύριον.

ζ 26 Ζεβεδαῖος: ὄνομα κύριον.

ζ 27 Ζέω· δοτικῇ.

ζ 28 Ζέλεια: ὄνομα πόλεως. καὶ Ζελείτης, ἀπὸ τόπου.

ζ 29 Ζέρκων, Σκύθης οὕτω καλούμενος, Μαυρούσιος τὸ γένος. διὰ δὲ κακοφυΐαν σώματος καὶ τὸ γέλωτα ἐκ τῆς τραυλότητος τῆς φωνῆς καὶ ὄψεως παρέχειν (βραχὺς γάρ τις ἦν, κυρτός, διάστροφος τοῖς ποσί, τὴν ῥῖνα τοῖς μυκτῆρσι παραφαίνων διὰ σιμότητος ὑπερβολήν), Ἄσπαρι τῷ Ἀρδαβουρίῳ ἐδεδώρητο, καθ’ ὃν ἐν Λιβύῃ διέτριβε χρόνον. ἥλω δὲ τῶν βαρβάρων ἐς τὴν Θρᾳκῶν ἐμβαλόντων καὶ παρὰ τοὺς βασιλείους ἤχθη Σκύθας. καὶ Ἀττήλας μὲν οὐδὲ τὴν αὐτοῦ ἤνεγκεν ὄψιν· ὁ δὲ Βλήδας ἥσθη τε λίαν αὐτῷ φθεγγομένῳ οὐ μόνον γέλωτος ἄξια, εἰ μή γε καὶ βαδίζοντι καὶ περιττῶς κινοῦντι τὸ σῶμα. συνῆν δὲ αὐτῷ εὐωχουμένῳ καὶ ἐκστρατεύοντι, πεποιημένην πρὸς τὸ γελοιότερον ἀναλαμβάνων ἐν ταῖς ἐξόδοις πανοπλίαν. διὸ δὴ περισπούδαστον αὐτὸν ὁ Βλήδας ποιούμενος μετὰ αἰχμαλώτων ἀποδράντα Ῥωμαίων, τῶν μὲν ἄλλων κατωλιγώρησεν, αὐτὸν δὲ μετὰ πάσης φροντίδος ἀναζητεῖσθαι προσέταξεν. καὶ ἁλόντα καὶ παρ’ αὐτὸν ἀχθέντα ἐν δεσμοῖς ἰδὼν ἐγέλασεν. καὶ καθυφεὶς τῆς ὀργῆς ἐπυνθάνετο τὴν αἰτίαν τῆς φυγῆς, καὶ ὅτου χάριν νομίζοι τὰ Ῥωμαίων τῶν παρὰ σφίσιν ἀμείνονα. ὁ δὲ ἀπεκρίνατο, ἁμάρτημα μὲν τὴν φυγὴν εἶναι, ἔχειν δὲ τοῦ ἁμαρτήματος λόγον, τὸ μὴ γαμετὴν αὐτῷ δεδόσθαι. τῷ δὲ γέλωτι μᾶλλον ὁ Βλήδας ὑπαχθεὶς δίδωσιν αὐτῷ γυναῖκα τῶν μὲν εὖ γεγονότων καὶ τῇ βασιλίδι διακονησαμένων, ἀτόπου δέ τινος πράξεως ἕνεκα οὐκέτι παρ’ ἐκείνην φοιτῶσαν. καὶ οὕτω διετέλει ἅπαντα τὸν χρόνον τῷ Βλήδᾳ συνών. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν Ἀττήλας Ἀετίῳ τῷ στρατηγῷ τῶν Ἑσπερίων Ῥωμαίων δῶρον τὸν Ζέρκωνα δίδωσιν, ὃς αὐτὸν παρὰ τὸν Ἄσπαρα ἀπέπεμψεν.

ζ 30 Ζέσας θυμῷ: ἐξαφθεὶς τῇ ψυχῇ.

ζ 31 Ζευγήσιον: τὸ τοῦ ζευγίτου τέλος.

ζ 32 Ζεύγλη: τὸ ἄκρον τοῦ ζυγοῦ, καθ’ ὃ ἐντίθησι τοὺς τραχήλους τὰ ζῷα.

ζ 33 Ζεῦγμα: Εὐνάπιος. ἡ τοῦ ποταμοῦ διάβασις, ἡ γέφυρα. ζεύγνυται δὲ Ῥωμαίοις ἀπονώτατα τῶν ποταμῶν τὰ ῥεύματα, ἅτε καὶ τοῦτο διὰ μελέτης ἀεὶ τοῖς στρατιώταις ὥσπερ ἄλλο τι τῶν πολεμικῶν ἀσκούμενον, ἐπί τε Ἴστρῳ καὶ Ῥήνῳ καὶ Εὐφράτῃ. ἔστι δὲ ὁ τρόπος, οὐ γὰρ δὴ πάντας εἰδέναι, τοιόσδε· πλατεῖαι μέν εἰσιν αἱ νῆες, δι’ ὧν ὁ ποταμὸς ζεύγνυται, ἀνορμίζονται δὲ ὀλίγον ἄνω τοῦ ῥεύματος ὑπὲρ τὸν μέλλοντα ζεύγνυσθαι τόπον. ἐπὰν δὲ τὸ σημεῖον δοθῇ, ἀφιᾶσι πρώτην μίαν ναῦν κατὰ ῥοῦν φέρεσθαι πλησίον τῆς οἰκείας ὄχθης. ἐπὰν δὲ κατὰ τὸν ζευγνύμενον ἥκῃ τόπον, ἐμβάλλουσιν ἐς τὸ ῥεῦμα φορμὸν λίθων ἐμπεπλησμένον καλωδίῳ δήσαντες, ὥσπερ ἄγκυραν· ἀφ’ οὗ δεθεῖσα ἡ ναῦς πρὸς τῇ ὄχθῃ ἵσταται σανίσι καὶ ζεύγμασιν, ἅπερ ἄφθονα αὐτοῖς ἡ ναῦς φέρει, παραχρῆμα μέχρι τῆς ἀποβάσεως καταστρώννυται. εἶτα ἄλλην ἀφιᾶσιν ὀλίγον ἀπ’ ἐκείνης καὶ ἄλλην ἀπ’ ἐκείνης, ἔστ’ ἐπὶ τὴν ἀντιπέραν ὄχθη ἐλάσωσι τὸ ζεῦγμα. ἡ δὲ πρὸς τῇ πολεμίᾳ ναῦς καὶ πύργους ἐπ’ αὐτῇ καὶ πυλίδα καὶ τοξότας καὶ καταπέλτας φέρει. βαλλομένων δὲ τῶν βελῶν πολλῶν ἐπὶ τοὺς ζευγνύντας ὁ Κάσσιος ἀφιέναι βέλη καὶ καταπέλτας κελεύει. πεσόντων δὲ τοῖς βαρβάροις τῶν πρώτων ἐφεστηκότων ἕτεροι ἧκον. Ζεῦγος ἡμιονικὸν ἢ βοεικὸν ζεύξαντες, τὴν λεγομένην κλινίδα, ἥ ἐστιν ὁμοία διέδρῳ, τὴν τῆς νύμφης μέθοδον ποιεῖται. παραλαβόντες δὲ αὐτὴν ἐκ τῆς πατρῴας ἑστίας ἐπὶ τὴν ἅμαξαν ἄγουσιν ἐς τὰ τοῦ γαμοῦντος ἑσπέρας ἱκανῆς. κάθηνται δὲ τρεῖς ἐπὶ τῆς ἁμάξης, μέση μὲν ἡ νύμφη, ἑκατέρωθεν δὲ ὅ τε νυμφίος καὶ ὁ πάροχος. οὗτος δέ ἐστι φίλος ἢ συγγενὴς ὅτι μάλιστα τιμώμενος καὶ ἀγαπώμενος. ἐπειδὴ δὲ ἡ ἅμαξα ὄχημα ἐλέγετο, ὁ ἐκ τρίτου ὁ παροχούμενος πάροχος ἐκλήθη. καὶ ἀπὸ ταύτης τῆς συνηθείας, κἂν πεζοὶ μετίωσί τινες κόρην, ὁ τρίτος συμπαρὼν πάροχος λέγεται.

ζ 34 Ζευξιδία: ἡ Ἥρα.

ζ 35 Ζευξίθεος: ὄνομα κύριον.

ζ 36 Ζευξίλεως: ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί.

ζ 37 Ζεύξιππος· ὅτι Χριστόδωρος, ἐποποιός, ἔγραψεν ἔκφρασιν ἀγαλμάτων τοῦ Ζευξίππου.

ζ 38 Ζεῦξις, Ζεύξιδος. ὄνομα κύριον. Ἀριστοτέλης κατὰ τὸν Ἰσοκράτους χρόνον ζωγράφον. οὗτος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἔγραψεν Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις.

ζ 39 Ζεύς· τούτου τὸ ἄγαλμα ἱστοροῦσι καθήμενον, γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δεξιᾷ δὲ ἀετὸν προτεῖνον. καὶ τὸ μὲν καθῆσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν, ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσιν. τὰ δὲ λοιπὰ σκέπεται, διότι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωστος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν, σημαίνει τὸ ἐξουσιαστικόν· τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν δηλοῖ, ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ, ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων. καὶ παροιμία· ὁ Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας· ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττουσι καλῶν ἢ κακῶν. ὅτι οὐκ ἀπρονόητά φασι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι καί ποτε ἐπεξιέναι.

ζ 40 Ζεὺς Κτήσιος, ὃν καὶ ἐν τοῖς ταμιείοις ἱδρύοντο, ὡς πλουτοδότην.

ζ 41 Ζεφυρία πνοή: τοῦ ζεφύρου. καὶ Ζεφύριον πνεῦμα. Ζέφυρος γὰρ λεῖος ἄνεμος.

ζ 42 Ζεῖ: βράζει. καὶ Ὅμηρος· ὡς δὲ λέβης ζεῖ. ἀπὸ τοῦ ζέω ῥήματος.

ζ 43 Ζειά: εἶδος κριθῆς.

ζ 44 Ζείδωρον: τὴν τὰ πρὸς τὸ ζῆν δωρουμένην. ἔστι καὶ ἡ γῆ. καλεῖται δὲ καὶ βιοδώρα καὶ φερέσβιος.

ζ 45 Ζειπύτης: ὄνομα κύριον.

ζ 46 Ζειρά: ἤτοι σειρά, ὥς τινες. ἢ ἔνδυμά τι, ὃ ἐπενεδύοντο μετὰ τοὺς χιτῶνας, ὥσπερ ἐφαπτίδας.

ζ 47 Ζειραί: χιτῶνες ἀνακεκολαμμένοι, ἢ ἀνάκολοι. ἢ μίτρα. Ἡρόδοτος.

ζ 48 Ζῆ: ἀντὶ τοῦ ζῆθι. Εὐριπίδης. καὶ ἀντὶ τοῦ ζέει. Ζῆ χύτρα, ζῆ φιλία, ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν. καὶ Ζῇ, ἀντὶ τοῦ ὑπάρχει, βιοῖ.

ζ 49 Ζήβ: ὄνομα κύριον, Ἑβραϊκόν.

ζ 50 Ζήβυρες: ὄνομα ἔθνους.

ζ 51 Ζήθης καὶ Ζῆθος: ὀνόματα.

ζ 52 Ζῆθος καὶ Ἀμφίων: ὀνόματα. καὶ ζήτει ἐν τῷ Ἀντιόπη.

ζ 53 Ζῆ· καῖε πῦρ: ἐπὶ τῶν μόλις γενομένων.

ζ 54 Ζηλήμων: ὁ ζηλούμενος.

ζ 55 Ζηλίτης: ὄνομα κύριον.

ζ 56 Ζῆλος· Σοφοκλῆς· ἴδε τὴν ὁμευνέτιν Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ, οἵας λατρείας ἀνθ’ οἵου ζήλου τρέφει.

ζ 57 Ζῆλος: ἀγαθοῦ τινος ἐπιθυμία φθόνου τινὸς χωρὶς ἐγγινομένη τῇ ψυχῇ. οἷον, ἔχει τις ἀνδρείαν, ζηλῶ τοῦτον τῆς ἀρετῆς· τουτέστιν ἐπιθυμῶ κτήσασθαι τὸ καλόν, μὴ φθονήσας τῷ κεκτημένῳ, ἀλλὰ κἀγὼ βουλόμενος ἀνδρεῖος εἶναι. Ἀππιανός· Δεντάτῳ κατὰ ζῆλον ἀρετῆς εἵπετο νέων λογάδων πλῆθος ὀκτακοσίων ἐπὶ πάντα τὰ ἔργα ἕτοιμοι· καὶ βαρὺς ἦν τῇ βουλῇ παρὰ τὰς ἐκκλησίας.

ζ 58 Ζηλοτυπία: ζῆλος ἐξ ὑπονοίας, τοῦ ἀνδρὸς κατὰ τῆς οἰκείας γυναικὸς εἰς ἕτερον ἀσελγῆ ὑπόνοια. Ἰάμβλιχος· ἡ δὲ μεστὴ μὲν ἦν καὶ τῆς ἔμπροσθεν ζηλοτυπίας, προσείληφε δὲ καὶ τὴν ἀπὸ τῆς πράξεως εὐτολμίαν. ὡς οὖν ἐλάβετο τῆς ὁδοῦ, ὁ μὲν πρῶτος ἀγών, ἔφη, διηγώνισται· ἐχώμεθα δὲ καὶ τοῦ δευτέρου. καὶ γὰρ ἐν καιρῷ γεγυμνάσμεθα. καὶ Πολύβιος λέγει· τοῖς γὰρ πλείστοις ὑπερεγεγόνει τὶς ζῆλος ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ τῆς ἀκαιρίας· ἐσπούδαζον γὰρ τὰς ἀκολουθίας καὶ τὰς ἐσθῆτας διαφερόντως. καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμὸς ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν· ὅπλων δὲ οὐδὲ τὸν ἐλάχιστον ἐποιοῦντο λόγον.

ζ 59 Ζηλοτυποῦν· αἰτιατικῇ. Αἰσχίνης, ἀντὶ τοῦ μισοῦν· ζηλοῦν γὰρ τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι.

ζ 60 Ζήλου· αἰτιατικῇ. μιμοῦ.

ζ 61 Ζηλοῦν· Σοφοκλῆς· καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω, ὅθ’ οὕνεκ’ οὐδὲν τῶνδ’ ἐπαισθάνῃ κακῶν. ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος. τὸ μὴ φρονεῖν γὰρ κάρτ’ ἀνώδυνον κακόν, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.

ζ 62 Ζηλῶ· δοτικῇ. ζηλῶν ἐζήλωκα τῷ κυρίῳ. αἰτιατικῇ δέ, ζήλωσον Πέτρον.

ζ 63 Ζηλῶ: μακαρίζω. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· οὐ ζηλῶ σε τῆς παιδεύσεως. ζηλῶ σε τῆς εὐβουλίας, μᾶλλον δὲ τῆς εὐωχίας, ἄνθρωπε, τῆς παρούσης. καὶ πάλιν· ζηλῶ σε τῆς εὐγλωττίας. ἀντὶ τοῦ τῆς γραφῆς, τῆς κατηγορίας. καὶ αὖθις· ζηλῶ σε τῆς εὐωχίας, τὸν πρεσβύτην, οἵων μετέστη ξηρῶν τρόπων καὶ βιοτῆς. ἕτερα δὲ νῦν ἀντιμαθών.

ζ 64 Ζηλώματα: ζηλοτυπίας. κώμους καὶ τὰ νέων ζηλώματα καὶ τὰ ποθεύντων κνίσματα καὶ μύστην λύχνον ἀπειπαμένη.

ζ 65 Ζηλῶσαι: μιμήσασθαι. Ἡρόδοτος· ὧν εἴ τις παρ’ ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει, οὐδὲν ἄμεινον διακείσεται τῶν τὸ κώνειον προσενεγκαμένων ἢ τὴν ἀκόνιτον ἢ τὴν ἑλλέβορον.

ζ 66 Ζηλωταί: παρὰ Ἰουδαίοις οἱ τοῦ νόμου φύλακες. Ἄνανος ἀποκλείσας τοὺς Ζηλωτὰς εἰς τὸ ἱερὸν καὶ φρουρὰν αὐτοῖς ἐπιστήσας παρεκάθητο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζ 67 Ζηλωτός: μακαριστός, ἐπαινετός.

ζ 68 Ζηλωτότατον: μακάριον. Ἀριστοφάνης· ζηλωτότατον βίον ἀνθρώπων διάξεις.

ζ 69 Ζημία: ἡ στέρησις.

ζ 70 Ζημιῶ· δοτικῇ. ἐζημίωσε χρήμασιν. αἰτιατικῇ δέ, πῶς μὴ τὰ μέγιστα ζημιώσω τοὺς παρόντας;

ζ 71 Ζήν, Ζηνός, Ζηνί.

ζ 72 Ζῆν καὶ Ἀποζῆν: ζῆν μὲν τὸ μετὰ τρυφῆς καὶ πολυτελείας, ἀποζῆν δὲ τὸ εὐτελῶς ζῆν. καὶ ζήτει ἐν τῷ ἀποζῆν.

ζ 73 Ζηνόβιος, σοφιστής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν Ἐπιτομὴν τῶν παροιμιῶν Διδύμου καὶ Ταρραίου ἐν βιβλίοις τρισί, Μετάφρασιν Ἑλληνικῶς τῶν Ἱστοριῶν Σαλουστίου τοῦ Ῥωμαϊκοῦ ἱστορικοῦ καὶ τῶν καλουμένων αὐτοῦ Βελῶν, Γενεθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα· καὶ ἄλλα.

ζ 74 Ζηνόδοτος, Ἐφέσιος, ἐποποιὸς καὶ γραμματικός, μαθητὴς Φιλητᾶ, ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου, ὃς καὶ πρῶτος τῶν Ὁμήρου διορθωτὴς ἐγένετο καὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προὔστη καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσεν.

ζ 75 Ζηνόδοτος, Ἀλεξανδρεύς, γραμματικός, ὁ ἐν ἄστει κληθείς. Πρὸς τὰ ὑπ’ Ἀριστάρχου ἀθετούμενα τοῦ ποιητοῦ. ἔγραψε Πρὸς Πλάτωνα περὶ θεῶν, Περὶ τῆς Ὁμηρικῆς συνηθείας, Λύσεις Ὁμηρικῶν ἀπορημάτων, Εἰς τὴν Ἡσιόδου Θεογονίαν, καὶ ἄλλα συχνά.

ζ 76 Ζηνόθεμις: ὄνομα κύριον.

ζ 77 Ζήνων, Τελευταγόρου, Ἐλεάτης, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους, ἦν γὰρ ἐπὶ τῆς οη′ Ὀλυμπιάδος, μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου. ἔγραψεν Ἔριδας, Ἐξήγησιν τῶν Ἐμπεδοκλέους, Πρὸς τοὺς φιλοσόφους περὶ φύσεως. τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς. καθελεῖν δὲ θελήσας Νέαρχον, οἱ δὲ Διομέδοντα, τὸν Ἐλέας τύραννον, ἑάλω. καὶ ἐρωτώμενος ὑπ’ αὐτοῦ τὴν γλῶτταν αὑτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ. καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος. διαφέρει δὲ Ἐλεάτης καὶ Ἐλαΐτης.

ζ 78 Ζήνων, Μουσαίου, Σιδώνιος, φιλόσοφος Στωϊκός, μαθητὴς Διοδώρου τοῦ κληθέντος Κρόνου, διδάσκαλος δὲ καὶ αὐτὸς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν Ἀπολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

ζ 79 Ζήνων, Μνασέου ἢ Δημέου, Κιτιεύς (πόλις δ’ ἐστὶ Κύπρου τὸ Κίτιον), φιλόσοφος, ὃς ἦρξε τῆς Στωϊκῆς αἱρέσεως. ἐπεκλήθη δὲ καὶ αὐτὸς Στωϊκὸς διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρῴην μὲν Πεισιανάκτειος, ὕστερον δὲ ζωγραφηθεῖσα Ποικίλη ἐκλήθη. μαθητὴς δὲ ἦν Κράτητος τοῦ Κυνικοῦ, εἶτα Πολέμωνος τοῦ Ἀθηναίου. ἐτελεύτησε δὲ ἐτῶν ϟ′ ἀφελὼν ἑκάστοτε τῆς τροφῆς, ἕως ἀτονίᾳ διεφθάρη. ἐχρήσθη δὲ αὐτῷ πυνθανομένῳ περὶ βίου συγχρωτίζεσθαι τοῖς νεκροῖς, ὅπερ ἦν τοῖς ἀρχαίοις διὰ τῶν βιβλίων. Φοῖνιξ δ’ ἐπεκλήθη, ὅτι Φοίνικες ἔποικοι τοῦ πολιχνίου ἐγένοντο. ἤκμαζεν ἐπὶ Ἀντιγόνου τοῦ Γονατᾶ, ἐπὶ τῆς κ′ καὶ ρ′ Ὀλυμπιάδος. καὶ παροιμία, Ζήνωνος ἐγκρατέστερος. οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτὴν ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι. φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει. τῷ γὰρ ὄντι πάντας ὑπερεβάλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι. καὶ δὴ η′ πρὸς τοῖς ϟ′ βιοὺς ἔτη κατέστρεψεν ἄνοσος καὶ ὑγιὴς διατελέσας.

ζ 80 Ζήνων, Διοσκορίδου, Ταρσεύς, ὡς δέ τινες Σιδώνιος, φιλόσοφος, μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου Στωϊκοῦ, καὶ διάδοχος.

ζ 81 Ζήνων, Κιτιεύς. εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. ἔγραψε Περὶ στάσεων, Περὶ σχημάτων, Ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην, Περὶ ἐπιχειρημάτων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζ 82 Ζήνων, Ἀλεξανδρεύς, ἀνὴρ Ἰουδαῖος μὲν γεγονώς, ἀπειπάμενος δὲ δημοσίᾳ πρὸς τὸ φῦλον τῶν Ἰουδαίων, ὡς παρὰ σφίσι νενόμισται τὸν λευκὸν ὄνον ἐν τῇ ἀργούσῃ ἡμέρᾳ διὰ τῆς καλουμένης αὐτῶν συναγωγῆς ἐλασάμενος. οὗτος ὁ Ζήνων ἐπιεικὴς μὲν ἦν φύσει καὶ ἱερός, ἀλλὰ νωθέστερος ἐν λόγοις καὶ μαθήμασιν, ἐφιέμενος μὲν ἀεί τι μανθάνειν καὶ ἐρωτῶν, ὅ τι ἂν ἀγνοοῖ, πάντα δὲ σχεδὸν ἀγνοῶν. καὶ γὰρ νοῆσαι βραδύτατος ἦν, καὶ τῶν νοηθέντων ὀψέ ποτε προδότης ὑπὸ λήθης ἑτοιμότατος. ἦν δὲ καὶ ἕτερος Ζήνων, τοῦ Πρόκλου ἑταῖρος, κατὰ τὸν αὐτὸν χρόνον, τῷ μὲν γένει Περγαμηνός, τῇ δὲ φύσει καὶ αὐτὸς ἐνδεέστερος, τά γε πρὸς ἐπιστήμην· ἐπιεικὴς δὲ καὶ τὰ ἤθη κατηρτυμένος. ὁπότερος δὲ αὐτοῖν ἀφορμὴν τῇ διαστάσει παρέσχετο τῷ Σαλουστίῳ πρὸς τὸν Πρόκλον, οὐκ ἔχω φράζειν.

ζ 83 Ζήνων, βασιλεὺς Ῥωμαίων, τὴν μὲν ὠμότητα, ᾗ ἐκέχρητο Λέων, ἐν τῇ φύσει οὐκ εἶχεν. οὐδὲ τὸ θυμούμενον ἀπαραίτητον αὐτῷ καθειστήκει ἐσάπαξ, οἷον τοῦ Λέοντος διέμενε. καὶ τήν γε προαίρεσιν ἐν πολλοῖς εἶχε φιλότιμον· καὶ ἃ ἔπραττε δόξης ἕνεκεν καὶ τοῦ θαυμάζεσθαι ἔπραττεν, ἐπιδεικτικῶς μᾶλλον ἢ ἀληθῶς. οὐ μὴν οὔτε ἔμπειρος τῶν πραγμάτων ἦν οὔτε εἶχεν ἐπιστήμην, δι’ ἧς ἔστιν ἀσφαλῶς τὰς βασιλείας ἰθύνεσθαι. πρὸς δὲ κέρδος καὶ λῆμμα οὐχ οὕτω μὲν ἐμμανῶς ὡς ὁ Λέων διέκειτο· οὐδὲ ἔπλαττε μὴ ὄντα τοῖς κεκτημένοις ἐγκλήματα· οὐ μὴν οὐδὲ παντελῶς κρείττων ὑπῆρχε τοῦ πράγματος. καὶ χρηστῆς ἂν βασιλείας ἔτυχον Ῥωμαῖοι, εἰ μὴ Σεβαστιανὸς ὁ τότε παραδυναστεύων ἦγεν αὐτὸν ἐς ὅπη ἐβούλετο, καπηλεύων ὥσπερ ἐξ ἀγορᾶς ἅπαντα καὶ μηδὲν ἄπρατον ἐῶν ἐν τῇ βασιλέως αὐλῇ διαπράττεσθαι. ἀλλὰ τὰς μὲν ἀρχὰς ἀπεδίδοτο πάσας, ἰδίᾳ μὲν ἑαυτῷ, ἰδίᾳ δὲ λαμβάνων τῷ βασιλεῖ τὰ τιμήματα. καὶ εἰ προσῆλθεν ἕτερος βραχύ τι προστιθείς, ἐκεῖνος ἦν αἱρετώτερος. τῶν δὲ ἐν τοῖς ἀρχείοις γινομένων ἁπάντων οὐδὲν ἦν, ὃ μὴ λαβὼν ἀπεπίπρασκεν. εἰ δέ τινα ἀρχὴν τῶν περὶ αὐτὸν ὄντων ἐχαρίσατο Ζήνων, ὥσπερ πολιτοκάπηλος αὐτὸς ταύτην ὀλίγου παρ’ ἐκείνου λαμβάνων, ἄλλοις παρεῖχε τοῦ πλείονος, Ζήνωνι δὲ τὰ κλέμματα παρέχων.

ζ 84 Ζήνων, βασιλεὺς Ῥωμαίων. ὃς Ζήνωνα τὸν ἑαυτοῦ υἱὸν διάδοχον καταλιμπάνειν θέλων κομιδῇ νέον προῆγέ τε δι’ ἀξιῶν καὶ σωμασκεῖσθαι ἐκέλευεν εἰς ἐπίδοσιν τῆς ἡλικίας. οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν Συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν καὶ μαστροπεύοντες αὐτῷ τοὺς συνήβους πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐπαίδευσαν ἐκτόπως. διαίτης οὖν ἐν ἡδοναῖς καὶ τύφῳ τιθεμένης τὸ καλὸν ἐθὰς γενόμενος καὶ τὴν ὑποτυφωμένην ἀλαζονείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων ἀκροβατεῖν τε ἤρξατο καὶ μετέωρον τὸν αὐχένα αἴρειν καὶ συλλήβδην φάναι, προσέχειν πᾶσιν ὡς οἰκέταις ἀνθρώποις. ἀλλ’ ὁ πάντων ἔφορος τὴν φυσικὴν καὶ διδακτικὴν κακότητα αὐτοῦ τεθεαμένος, διαρρεύσαντα τῇ γαστρὶ καὶ ἀναισθήτως ἐπὶ πολλὰς ἡμέρας ἐς τὴν εὐνὴν ἀποπατοῦντα, πρόωρον τῶν ἀνθρωπείων ἐδικαίωσεν ἐκβῆναι. ὅτι Ζήνων ὁ βασιλεύς, πυθόμενος τῶν οἰκείων τὴν ἧτταν ἐς φρούριον καταφεύγει ἐπὶ λόφου κείμενον, ὃ Κωνσταντινούπολιν οἱ πρόσχωροι ἐκάλουν. ὅπερ γνούς, τοῖς συνοῦσι στενάξας, θεοῦ παίγνιον, εἶπεν, ἄρα ὁ ἄνθρωπος· εἴγε καὶ ἐμὲ οὕτω παίζειν φιλεῖ τὸ δαιμόνιον. ἐμοὶ γὰρ δὴ οἱ μάντεις τὸν Ἰούλιον μῆνα ἐξ ἀνάγκης ἐν Κωνσταντινουπόλει διατεινόμενοι προὔλεγον. κἀγὼ μὲν ἐνόμιζον ἐς Κωνσταντινούπολιν ἀναβήσεσθαι· νῦν δὲ πάντων ἔρημος καὶ φυγὰς ἐς λόφον ἦλθον, εὑρηκὼς ὁ δείλαιος προσηγορίαν ὁμώνυμον.

ζ 85 Ζηνωνίς: ὄνομα κύριον. ζήτει ἐν τῷ Ἁρμάτος.

ζ 86 Ζηρυνθία: ἡ Ἀφροδίτη. καὶ Ζηρύνθιον. καὶ Ζήρινθον ἄντρον, ἐν ᾧ τοὺς κύνας ἔθυον. ἔνθα ἦν τὰ τῶν Κορυβάντων καὶ τῆς Ἑκάτης μυστήρια. ζήτει ἐν τῷ ἀλλ’ εἴ τις.

ζ 87 Ζῆσαι δὶς λέγουσι καὶ ἀναβιῶναι τὸν Ἡρακλέα, τὸν Τυνδάρεων καὶ τὸν Γλαῦκον, τινὲς δὲ καὶ τὸν Αἴσωπον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζ 88 Ζήσειας· ζήτει ἐν τῷ ἀμυστί.

ζ 89 Ζητεῖν: ἐπὶ τοῦ βούλεσθαι τιθέασιν Ἀττικοί. μηδὲ σὺ ζήτει τι πυθέσθαι.

ζ 90 Ζήτης: ὁ τοῦ Βορέου παῖς.

ζ 91 Ζητήσεται: ἀντὶ τοῦ ζητηθήσεται.

ζ 92 Ζητηταί: ἀρχή τις ἦν Ἀθήνησι κατὰ καιροὺς καθισταμένη, πρὸς ἧς ἐμηνύοντο οἱ ὀφείλοντες χρήματα τῇ πόλει καὶ μὴ ἀποδεδωκότες.

ζ 93 Ζητητηρίων ὄργανα: τὰ βασανιστήρια. οἱ δὲ προσάγουσι πῦρ καὶ τὰ τῶν ζητητηρίων ὄργανα. ὁ δὲ τὰ πραχθέντα ἐξεῖπεν.

ζ 94 Ζητρεῖον: τὸ τῶν δούλων κολαστήριον. Εὔπολις.

ζ 95 Ζητῶν γὰρ ὄψον θοἰμάτιον ἀπώλεσα: ἐπὶ τῶν ἀτυχεστάτων.

ζ 96 Ζῆ χύτρα, ζῇ φιλία: ἐπὶ τῶν διὰ τοῦ δείπνου συνιόντων εἰς φιλίαν.

ζ 97 Ζιβύνη: ὁλοσίδηρον ἀκόντιον, λόγχη, σπάθη.

ζ 98 Ζιβύτης: ὄνομα κύριον.

ζ 99 Ζιζάνιον: ἡ ἐν τῷ σίτῳ αἶρα.

ζ 100 Ζιήλας: ὄνομα κύριον.

ζ 101 Ζινίχιον: τὸ λωρίον τοῦ ὑποδήματος.

ζ 102 Ζίρης, καὶ κλίνεται Ζίρη, Σκυθικῇ φωνῇ.

ζ 103 Ζολιμίηλος: ὄνομα κύριον.

ζ 104 Ζοροβάβελ: ὄνομα κύριον.

ζ 105 Ζοφερά: ἡ σκοτεινή. καὶ Ζοφερὸν ὁμοίως.

ζ 106 Ζοφοδερκίας: ὁ σκοτεινὸς δεῖπνος.

ζ 107 Ζοφώδης ὁ σκοτεινός. καὶ Ζοφοειδής, σκοτεινός.

ζ 108 Ζοφομηνία: ἡ ἔκλειψις τῆς σελήνης.

ζ 109 Ζόφον: τὴν δύσιν. οὕτως γὰρ καλεῖται ἡ δύσις, ζόφος.

ζ 110 Ζῶ· δοτικῇ. Σοφοκλῆς· οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ.

ζ 111 Ζῷα· ὅτι τὰ ζῷα ἄνω ἔχειν τὴν κεφαλὴν λέγεται, οὐ πάντως ὡς πρὸς τὸ πέριξ λαμβανόμενα, ἀλλ’ ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. καὶ τῶν ἀλόγων τοίνυν ζῴων τῶν πλείστων, σχεδὸν δὲ πάντων, ἐπὶ γῆς κεκυφότων, ὡς μηδὲ τῶν ὀπισθίων ἐπὶ τὸ πέριξ ἔχειν τὴν κεφαλήν, ὅμως λέγεται τὰ ἄνω τῶν ζῴων μέρη εἶναι κεφαλή τε καὶ τὰ περὶ τὴν κεφαλήν. καὶ ἐπὶ τῶν φυτῶν τοίνυν, ὡς μὲν πρὸς τὰ πέριξ, ἄνω λέγοιντο οἱ κλάδοι καὶ τὰ φύλλα· ὡς δὲ πρὸς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ μᾶλλόν ἐστι συμφυές, ἄνω μὲν αἱ ῥίζαι, κάτω δὲ οἱ κλάδοι. διὸ καὶ ἀναλογοῦσι κεφαλῇ καὶ μὴν καὶ στόματι. δι’ αὐτῶν γὰρ ὡς διὰ στόματος ἡ τροφὴ χορηγεῖται καὶ διοχετεύεται τῷ σώματι.

ζ 112 Ζωάγρια καὶ Ζώγρια: δι’ ὧν λύτρων τὸ ζῆν περιγίνεται. Ζωάγρια γὰρ τὰ τῆς ζωῆς χαριστήρια.

ζ 113 Ζωαρκῆ: τὰ πρὸς ζωὴν ἀρκοῦντα. καὶ Ζωαρκὲς ὁμοίως.

ζ 114 Ζωάς, καὶ τὸ πληθυντικὸν τῶν ζωῶν.

ζ 115 Ζωβία: ὄνομα κύριον. ζήτει ἐν τῷ Ἀριστογείτων Σκυδίμου.

ζ 116 Ζωγράφος. καὶ Ζωγραφῶ· αἰτιατικῇ.

ζ 117 Ζωγρεῖ· αἰτιατικῇ. ζῶντας λαμβάνει. καὶ Ζώγρει, ζῶντα φύλασσε.

ζ 118 Ζωγρεῖον: εἶδος σπυριδίου.

ζ 119 Ζωγρία: τὸ ζῷα ἀγρεύειν.

ζ 120 Ζώγρια: δι’ ὧν λύτρων τὸ ζῆν περιγίνεται. Προκόπιος· τῷ Χοσρόῃ ζώγρια δόντες τὴν πόλιν καὶ σφᾶς αὐτοὺς διεσώσαντο.

ζ 121 Ζωγρίᾳ λαβεῖν: ἀντὶ τοῦ ζῶντα λαβεῖν καὶ κρατῆσαι. καὶ Πολύβιος· οἱ δὲ γενόμενοι ζωγρίᾳ κύριοι τοῦ στρατηγοῦ, τοῦτον ἀνεσταύρωσαν.

ζ 122 Ζωγρίη· Ἡρόδοτος· τὸν δὲ Ἱστιαῖον ζωγρίη ἔλαβεν. ἐζωγρήθη δὲ ὧδε. ὡς φεύγων κατελαμβάνετο ὑπὸ ἀνδρὸς Πέρσεω, καὶ ὡς καταιρεόμενος ὑπ’ αὐτοῦ ἔμελλε συγκεντηθήσεσθαι, Περσίδα γλῶσσαν μετεὶς καταμηνύει ἑαυτὸν ὡς εἴη Ἱστιαῖος Μιλήσιος. καὶ αὖθις· ὑπὲρ δὴ τούτων τούτῳ ζωάγρια ἀποδιδούς, ᾗπερ οὖν δυνατὸν ἦν.

ζ 123 Ζῴδιον: τὸ μικρὸν ζῷον.

ζ 124 Ζώεσκον: ἀντὶ τοῦ ἐπλούτουν. ἐγὼν ἔτι ζώεσκον.

ζ 125 Ζῴη: εὐκτικῶς.

ζ 126 Ζωή: παρατήρησις, καὶ μονὴ τῶν ὄντων. ὅτι ἡ ζωὴ καὶ τὸ ζῆν πολλαχῶς λέγεται, τουτέστι πλειόνων οὐσῶν ψυχικῶν δυνάμεων καθ’ ἃς τὸ ζῆν ἐγγίνεται, πλείους καὶ αἱ δι’ αὐτῶν ζωαὶ καὶ τὸ ζῆν· οἷον κατὰ νοῦν, κατ’ αἴσθησιν, κατὰ τὰ λοιπά. διὸ κἂν ἕν τι τούτων ὑπάρχῃ τινί, ζῆν λέγεται τὸ μετέχον αὐτοῦ. ὅθεν καὶ τὰ φυτὰ θρεπτικὴν ἔχοντα δύναμιν ζῇ μηδεμίαν τῶν ἄλλων ἔχοντα, μήτε αἰσθητικὴν μήτε τὴν κατὰ τόπον κινητικὴν μήτε τῶν ἄλλων μηδεμίαν. ὅτι ζῆν μὲν λέγεται τὰ φυτά, οὐ ζῷα δὲ εἶναι. διότι ὥσπερ δρομέας λέγομεν οὐ τοὺς ὁπωσοῦν δρόμου μετέχοντας, ἀλλὰ τοὺς σφοδρῶς καὶ τρανέστερον μετειληφότας τοῦ τρέχειν, οὕτω καὶ ζῷα λέγονται οὐ τὰ ὁπωσοῦν μετέχοντα τοῦ ζῆν καὶ τῆς ζωῆς, ἀλλ’ ἐν οἷς τὸ ζῆν καὶ ἡ ζωὴ τρανότερον καὶ περιφανέστερόν ἐστιν.

ζ 127 Ζωὴ πίθου: ἐπὶ τῶν μετρίως καὶ ταπεινῶς ζώντων, ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἦν ἡ ἡδίστη καταγωγή.

ζ 128 Ζωήν: τὴν κτῆσιν, τὴν οὐσίαν. διαφέρει δὲ ζωὴ ψυχῆς· ζῇ γὰρ καὶ τὰ φυτά.

ζ 129 Ζωηρός: ὁ ζῶν, καὶ παρέχων ζωήν.

ζ 130 Ζωΐλος, Ἀμφιπολίτης (πόλις δ’ ἐστὶ Μακεδονίας Ἀμφίπολις, ἥτις πρώην ἐκαλεῖτο Ἐννέα ὁδοί), ὃς ἐπεκλήθη Ὁμηρομάστιξ, ὅτι ἐπέσκωπτεν Ὅμηρον. διὸ αὐτὸν διώξαντες οἱ ἐν τῇ Ὀλυμπίᾳ κατὰ τῶν Σκιρωνίδων πετρῶν ἔρριψαν. ῥήτωρ δὲ ἦν καὶ φιλόσοφος. ἔγραψε μέντοι τινὰ καὶ γραμματικά· Κατὰ τῆς Ὁμήρου ποιήσεως λόγους θʹ, Ἱστορίαν ἀπὸ θεογονίας ἕως τῆς Φιλίππου τελευτῆς βιβλία γʹ, Περὶ Ἀμφιπόλεως, καὶ Κατὰ Ἰσοκράτους τοῦ ῥήτορος, καὶ ἄλλα πλεῖστα, ἐν οἷς καὶ ψόγος Ὁμήρου.

ζ 131 Ζῶμα: ἡ ζώνη. Σοφοκλῆς· δὸς αὐτῷ τῆνδ’ ἀλιπαρῆ τρίχα καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον. τὴν ζώνην λέγων, οὐ τὸ ἔνδυμα.

ζ 132 Ζωμάλμη: ὄνομα κύριον. ἦν δὲ Θασία.

ζ 133 Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ’ ὡς δυνάμεθα: ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων. κέχρηται Πλάτων ἐν Ἱππίᾳ.

ζ 134 Ζωμεύματα, ὑποζώματα δέ, τὰ ξύλα τῆς νηός. ὁ οὖν σκυτεὺς ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, πρὸς μάγειρον παίζων εἶπε ζωμεύματα, ὡς ἀρτύσεων ἔμπειρον καὶ ζωμευμάτων.

ζ 135 Ζωμήρυσις: μαγειρικὸν ἐργαλεῖον. ἐν Ἐπιγράμμασι· ζωμήρυσίν τε τὴν λίπους ἀφρηλόγον.

ζ 136 Ζωμὸς μέλας: ἡ λεγομένη αἱματιά.

ζ 137 Ζῶναι· ἐπὶ γῆς εʹ. βόρειος ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψῦχος· εὔκρατος· καύματος, ἡ καλουμένη διακεκαυμένη· ἀντεύκρατος· νότιος, ἀοίκητος διὰ καῦμα.

ζ 138 Ζωναῖνος· ἔγραψεν ἐρωτικὰς ἐπιστολάς, καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιστολαὶ ἀγροικικαί, ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος.

ζ 139 Ζώνη: πορφυροῦν ἱμάτιον. Ἡρόδοτος.

ζ 140 Ζώνη: τροπικῶς ἡ δύναμις. ἐπειδὴ ὁ ἐζωσμένος εὐσταλέστερός ἐστι πρὸς τὴν πρᾶξιν.

ζ 141 Ζώνη: τὸ ἀξίωμα. ἀναζητουμένους τῆς βασιλίδος ὠθεῖσθαι οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ τοὺς ὑπὸ ζώνην. καὶ Αἰλιανός· καί πως τὴν ζώνην τοῦ χρυσίου, ἣν ἐπήγετο ὁ ξένος, ὁ πανδοκεὺς ἐθεάσατο καὶ παραχρῆμα ἐποφθαλμιᾷ. λύσις ὀνείρου· ζώνη κοπεῖσα τὴν ὁδὸν λύει τάχος.

ζ 142 Ζώντειον: κολαστήριον οἰκετῶν.

ζ 143 Ζώννυσθαι: καθοπλίζεσθαι. καὶ Ζωννύω· αἰτιατικῇ.

ζ 144 Ζωογονῶ· αἰτιατικῇ.

ζ 145 Ζωοδότειρα: ζωὴν παρέχουσα.

ζ 146 Ζωοδότης: ὁ ζωὴν πᾶσι διδοὺς ἀγαθὸς θεός.

ζ 147 Ζωοποιῶ· αἰτιατικῇ.

ζ 148 Ζωὸς γενήσῃ κρομμύου μόνον λαβών: πρὸς τοὺς ἀπὸ μικρᾶς αἰτίας μεγάλας δόξας καρπουμένους.

ζ 149 Ζώων: μετοχή. ζῶν. ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις καὶ κρατερῆς πάτρης πάτρια θεσμὰ λύεις.

ζ 150 Ζώπυρα: τοῦ ζῆν ποιητικά.

ζ 151 Ζώπυρα: φυσητῆρες, ὅθεν οἱ χαλκεῖς τὸ πῦρ φυσῶσιν.

ζ 152 Ζώπυρα: λείψανα.

ζ 153 Ζωπυρεῖ: ἀναζῆν ποιεῖ, ἢ ἐκκαίει.

ζ 154 Ζωπυρῆσαι: ἀναθάλψαι. ἐκ μεταφορᾶς ἀπὸ τοῦ πυρός, ἐπὶ τοὺς ἐξ ἀρρωστίας ἀναρωννυμένους λέγουσιν Ἀττικοί. Ζωπυρῆσαι κυρίως ἐστὶ τὸ ἐκ μικροῦ σπινθῆρος φυσῶντα μεγάλην φλόγα ἀνάψαι. καὶ ἐπὶ πολέμου δὲ λέγεται.

ζ 155 Ζωπυρήσεις: ἀντὶ τοῦ ἀνεγειρεῖς. εἰ μὴ τὼ θεὼ ζωπυρήσεις, λύσω τὴν ἐμαυτῆς υἱόν. καὶ ποιήσω τήμερον τοὺς δημότας βωστρεῖν ς' ἐγὼ πεκτούμενον.

ζ 156 Ζωπύρια: φυσητήρια.

ζ 157 Ζώπυρον: πεπυρακτωμένον, ἔνθερμον.

ζ 158 Ζωπύρου τάλαντα· Ζώπυρος ὁ Πέρσης βασιλεῖ χαριζόμενος μαστιγώσας ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀφελόμενος εἰσῆλθεν εἰς Βαβυλῶνα καὶ πιστευθεὶς διὰ τὰ περὶ τὸ σῶμα προὔδωκε τὴν πόλιν. ἐκ μεταφορᾶς οὖν εἶπε τάλαντα καὶ ζυγά, οἱονεὶ ἔργα καὶ πράξεις.

ζ 159 Ζωροάστρης, Περσομῆδος, σοφός. ζήτει περὶ τούτου ἐν τῇ ἀστρονομίᾳ. ὃς καὶ πρῶτος ἦρξε τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωϊκῶν ἔτεσι φ′. φέρεται δὲ αὐτοῦ Περὶ φύσεως βιβλία δ′, Περὶ λίθων τιμίων α′, Ἀστεροσκοπικά, Ἀποτελεσματικὰ βιβλία ε′.

ζ 160 Ζωροάστρης, ἀστρονόμος, ἐπὶ Νίνου βασιλέως Ἀσσυρίων, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι παρεγγυήσας τοῖς Ἀσσυρίοις τὴν τέφραν αὐτοῦ φυλάττειν· οὕτω γὰρ αὐτοῖς ἡ βασιλεία οὐκ ἐκλείψει διαπαντός· ὅπερ μέχρι νῦν πεφύλακται παρ' αὐτοῖς.

ζ 161 Ζωρομάσδρης, Χαλδαῖος, σοφός. ἔγραψε μαθηματικὰ καὶ φυσικά.

ζ 162 Ζωρόν: ζωτικόν.

ζ 163 Ζωροπόται: ἀκρατοπόται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζ 164 Ζωρότερον: ἀκρατότερον. ἐν Ἐπιγράμμασι· καὶ ζωρὸν κεράσας ἰσοχειλέα. καὶ Ὅμηρος εἰπών, ζωρότερον δὲ κέραιε, διαφορὰς κράσεων λέγει, ὡς μίγματός τινος στερεμνίους ποιοῦντος τοὺς πίνοντας.

ζ 165 Ζῶς: ἀντὶ τοῦ ζῶν.

ζ 166 Ζώσας: ἐναργεστέρας, οὐκ ἀπολλυμένας. Σοφοκλῆς· ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων. τουτέστι ἐν τοῖς συνετοῖς τὰς συντυχίας καὶ τὰς ἀποβάσεις τῶν βουλευμάτων ὁρῶ ζώσας καὶ οὐκ ἀπολλυμένας. ἀντὶ τοῦ οὐ σφάλλεται, ἀλλὰ τοῦ ἀποβησομένου στοχάζεται καλῶς.

ζ 167 Ζωσιμᾶς: ὄνομα κύριον.

ζ 168 Ζώσιμος, Ἀλεξανδρεύς, φιλόσοφος. Χημευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφήν· ἔστι δὲ κατὰ στοιχεῖον ἐν βιβλίοις κη', ἐπιγράφεται δὲ ὑπό τινων Χειρόκμητα· καὶ ὁ Πλάτωνος βίος.

ζ 169 Ζώσιμος, Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιστής, κατὰ τοὺς χρόνους Ἀναστασίου τοῦ βασιλέως. ἔγραψε Λέξιν ῥητορικὴν κατὰ στοιχεῖον καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν.

ζ 170 Ζῶσμα φατεινόν: τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυσθαι. ἄλλοι δὲ τὸν θώρακα, οἱ δὲ κυρίως τὸ ζῶσμα. οἱ Ῥωμαίων ψιλοὶ ἐφαπτίδα εἶχεν ἕκαστος αὐτῶν καὶ ζώματα πρὸ τῶν μηρῶν.

ζ 171 Ζώστειον: ὄνομα τόπου.

ζ 172 Ζωστήρ: ᾧ ἐπάνω τοῦ θώρακος χρῶνται.

ζ 173 Ζῶστρα: ἐνδύματά τινα ἀνδρῶν, οἷον χιτῶνας βαθεῖς, οἷς ζώννυται ἡ ζώνη.

ζ 174 Ζωτεῖσθαι: ζωογονεῖσθαι.

ζ 175 Ζωΰφιον.

ζ 176 Ζυγάδην: συνεζευγμένως.

ζ 177 Ζυγάστροις· Ξενοφῶν· τὰ δὲ ἄλλα χρήματα παραδεχομένους ἐς ζυγάστροις στήσαντας ἐφ' ἁμάξης κομίζειν, ἵνα ὅπη καιρὸς εἴη διαλαμβάνοιεν ἕκαστοι τὰ ἄξια. ζύγαστρον γὰρ ἡ ξυλίνη σορός.

ζ 178 Ζύγαινα: εἶδος ἰχθύος.

ζ 179 Ζυγεῖν: τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ· τοῦτο γὰρ καὶ κυρίως λέγεται στίχος.

ζ 180 Ζυγία: ἡ Ἥρα.

ζ 181 Ζυγιανός: ὁ ζυγός.

ζ 182 Ζυγίζω.

ζ 183 Ζύγιοι ἵπποι: οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ. τουτέστιν ὁ μέσος ἀριστερὸς καὶ ὁ μέσος δεξιός. καὶ ἁπλῶς ὁ μὴ παράσειρος οὕτως λέγεται.

ζ 184 Ζυγόδεσμος: ὁ ἱμὰς τοῦ ζυγοῦ.

ζ 185 Ζυγομαχεῖ: στασιάζει, ὡς οἱ βόες ἐζευγμένοι. μετῆκται ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης. ἐκεῖνοι γὰρ πολλάκις ὅταν ἕλκωσι κάμνοντες, ἐπερείδουσι τὸ βάρος πρὸς ἀλλήλους. κέχρηται Ὑπερίδης.

ζ 186 Ζυγομαχεῖν: ἀπὸ τῶν πωλούντων σταθμῷ καὶ διαφερομένων πρὸς τοὺς ὠνουμένους. οἱ δὲ ἀπὸ τῶν ὑποζυγίων ἢ βοῶν ἢ ἵππων ἤ τινων τοιούτων μὴ συμφώνως ἐργαζομένων. Ἡσίοδος· βόε δ' ἐνναετήρω ἄρσενε κεκτῆσθαι· τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν. οὐκ ἂν τώγ' ἐρίσαντε. Ἡρόδοτος δὲ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ζυγῶν δύνασθαι εἶναι τὴν λέξιν, ὅταν περὶ τὰς καθέδρας διαφέρωνται οἱ ἐρέται. ζήτει στήλην ζυγελάτου ἐν τῷ Βασιλική.

ζ 187

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ζυγός: ἐν τοῖς Τακτικοῖς τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος. ἐρετικὴ καθέδρα. τὰ τοῖς ζῴοις ἐπιτιθέμενα. καὶ τὸν ζυγὸν ἐν θαλάμῳ. τῶν μουσικῶν ὀργάνων ὁ πῆχυς. τὸ τὰς ἰσότητας διακρῖνον σκεῦος. καὶ αἱ χηλαὶ τοῦ ἐν οὐρανῷ Σκορπίου. καὶ ἡ ζυγοτρυτάνη δὲ στάσιμον. καὶ ὁ περικείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων. Ἀριστοφάνης· τὸ δακτυλίδιον πιέζει τὸ ζυγόν.

ζ 188 Ζυγός: ὁ νόμος παρὰ τῇ θείᾳ γραφῇ. καὶ ὁ Χριστός· ἄρατε τὸν ζυγόν μου, ὅτι χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν. καὶ ζυγὸν τὴν τοῦ νόμου βαρύτητά φησιν ὁ Δαβίδ.

ζ 189 Ζυγοστάτης καὶ Ζυγοστατῶ.

ζ 190 Ζυγοφορούμενα: ἐν ζυγῷ σταθμιζόμενα.

ζ 191 Ζυγῷ· γυμνοὺς ὅπλων τοὺς ἄνδρας ζυγῷ καθέκαστον ἀποδυομένους ἐπονειδίστως ἀπελθεῖν προσαναγκάσαντες.

ζ 192 Ζυγώθρισον: ἴσωσον, ζυγοστάτησον. ἔασον τὸ ἀπορούμενον, ἔπειτα πάλιν ἀνασκόπησον καὶ οἷον ἀνοίγειν ἀποπειράθητι. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. οἱ δὲ ζυγώθρισον, συνάρμοσον, σύμπηξον. Ἀριστοφάνης Νεφέλαις.

ζ 193 Ζύγωθρον: ὁ συνέχων τὰς δύο θύρας μοχλός.

ζ 194 Ζυγῶσαι: τὸ ζεῦξαι ζυγῷ. ἥρως ζυγώσας εὐσθενεστάτῳ θράσει ταύρους.

ζ 195 Ζυγοί: παρὰ Ἡροδότῳ αἱ καθέδραι.

ζ 196 Ζύθος: οἶνος ἀπὸ κριθῆς γινόμενος.

ζ 197 Ζύμη: τὸ φύραμα. καὶ Ζυμήτης ἄρτος. ὅτι λόγος ἔχει, ὡς ἀπὸ ϛʹ ὥρας τὰς ιδʹ τοῦ μηνὸς ἡμέρας σάλπιγγος φωνούσης πᾶς ἄρτος ζυμωτός, εἴ τις τοῖς Ἑβραίοις ὑπελείπετο, πυρὶ καιόμενος ἠφανίζετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org